192 Καλαμᾶται: τρυγᾷ τὰ ἀνώτερα τῶν ἐλαῶν, ἢ κατεσθίει.

Suid. 193 Καλαμητομίης· ἐν Ἐπιγράμμασι· ἀλλὰ καὶ αὖθις ἐκ καλαμητομίης ἀμβλὺ φέρει δρέπανον.

Δ 194 Καλάμη: ὁ στάχυς τοῦ σίτου.

Ecl. 195 Καλάμη: ἀπὸ τοῦ κάλου, τοῦ ξύλου· αὐτὸ δὲ ἀπὸ τῆς καύσεως.

Ar. 196 Καλαμίνθη: εἶδος βοτάνης, ἥτις καὶ ὄφεις ἐλαύνει καιομένη. Ἀριστοφάνης· σὺ δέ τ' ὄζοις καλαμίνθης. ὄφεως ἐλατική.

Rhet. 197 Καλαμίτης: ἢ ἐπὶ τῆς καλάμης τοῦ σίτου· ἢ κύριον ὄνομα. καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ Στεφάνου· ἐν τῷ κλισίῳ τῷ πρὸς
Δ τῷ Καλαμίτῃ ἥρωϊ. καὶ θηλυκὸν ἡ Καλαμῖτις. δισσοὺς ἐς
Anth. λυκάβαντας ἐφίλατο τὴν καλαμῖτιν. ἀντὶ τοῦ ἐφίλησεν.

Σ 198 Καλαμώμενος: σταχυολογῶν. Καλάμη γὰρ ὁ στάχυς τοῦ
Δ σίτου. καὶ Καλαμῶνται, πλεονεκτοῦσι.

Δ 199 Καλαμῶνος.

Synt. 200 Καλαμῶνται· αἰτιατικῇ.

Call.? 201 Κᾶλα παλαίθετα: ξηρὰ ξύλα, ἐκ πολλοῦ ἀποτεθέντα χρόνου. κᾶλον γὰρ τὸ ξύλον. ἐξ οὗ καὶ καλόπους, ὁ ξύλινος ποῦς.

Σ 202 Καλάσιρις: χιτὼν πλατύς. οὕτως Αἰγύπτιοι. καὶ ὄνομα
Δ κύριον.

203 Κάλανος, Ἰνδός, ἐκ τῶν Βραχμάνων. οὕτω δὲ πάντα σοφὸν οἱ Ἰνδοὶ προσαγορεύουσιν. ἐπὶ τούτῳ δὲ Ἀλέξανδρος ὁ Μακεδών, ἐπειδὴ ἐτελεύτησε παρόντος αὐτοῦ ἐν Ἰνδίᾳ, ἐπιτάφιον ἀγῶνα συντελέσας, καὶ ἀκρατοπότας ἁμιλληθῆναι παρεσκεύασε διὰ τὴν παρ' Ἰνδοῖς φιλοινίαν. οὗτος ἀπόκρισιν ἔδωκεν Ἀλεξάνδρῳ πρὸς πᾶσαν ἐρώτησιν εὔστοχον.

Δ 204 Καλλάτις: πόλις.

Ar. 205 Κάλλαια: οἱ πώγωνες τῶν ἀλεκτρυόνων. χ' ὅπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413864146/22 UNIVERSITÄT LEIPZIG